# ΑΜΩΣ

1 [1]Λόγοι Αμως, οἳ ἐγένοντο ἐν νακκαριμ ἐκ Θεκουε, οὓς
εἶδεν ὑπὲρ Ιερουσαλημ ἐν ἡμέραις Οζιου βασιλέως Ιουδα
καὶ ἐν ἡμέραις Ιεροβοαμ τοῦ Ιωας βασιλέως
Ισραηλ πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ.
2 [2]Καὶ εἶπεν Κύριος ἐκ Σιων ἐφθέγξατο καὶ ἐξ Ιερουσαλημ ἔδωκεν
φωνὴν αὐτοῦ, καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων, καὶ ἐξηράνθη
ἡ κορυφὴ τοῦ Καρμήλου.
3 [3]Καὶ εἶπεν κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Δαμασκοῦ καὶ ἐπὶ
ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ᾽ ὧν ἔπριζον πρί-
4 σιν σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας τῶν ἐν Γαλααδ· [4]καὶ ἐξαπο-
στελῶ πῦρ εἰς τὸν οἶκον Αζαηλ, καὶ καταφάγεται θεμέλια υἱοῦ Αδερ·
5 [5]καὶ συντρίψω μοχλοὺς Δαμασκοῦ καὶ ἐξολεθρεύσω κατοικοῦντας
ἐκ πεδίου Ων καὶ κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαρραν, καὶ αἰχ-
μαλωτευθήσεται λαὸς Συρίας ἐπίκλητος, λέγει κύριος.
6 [6]Τάδε λέγει κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Γάζης καὶ ἐπὶ ταῖς
τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκεν τοῦ αἰχμαλωτεῦσαι
αὐτοὺς αἰχμαλωσίαν τοῦ Σαλωμων τοῦ συγκλεῖσαι εἰς τὴν Ιδου-
7 μαίαν· [7]καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Γάζης, καὶ καταφάγεται
8 θεμέλια αὐτῆς· [8]καὶ ἐξολεθρεύσω κατοικοῦντας ἐξ Ἀζώτου, καὶ ἐξαρ-
θήσεται φυλὴ ἐξ Ἀσκαλῶνος, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ Ακκα-
ρων, καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει κύριος.
9 [9]Τάδε λέγει κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Τύρου καὶ ἐπὶ ταῖς
τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτήν, ἀνθ᾽ ὧν συνέκλεισαν αἰχ-
μαλωσίαν τοῦ Σαλωμων εἰς τὴν Ιδουμαίαν καὶ οὐκ ἐμνήσθησαν
10 διαθήκης ἀδελφῶν· [10]καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Τύρου, καὶ
καταφάγεται θεμέλια αὐτῆς.
11 [11]Τάδε λέγει κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις τῆς Ιδουμαίας
καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκα τοῦ
διῶξαι αὐτοὺς ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἐλυμήνατο μή-
τραν ἐπὶ γῆς καὶ ἥρπασεν εἰς μαρτύριον φρίκην αὐτοῦ καὶ τὸ ὅρ-
12 μημα αὐτοῦ ἐφύλαξεν εἰς νεῖκος· [12]καὶ ἐξαποστελῶ πῦρ εἰς Θαιμαν,
καὶ καταφάγεται θεμέλια τειχέων αὐτῆς.
13 [13]Τάδε λέγει κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Αμμων καὶ

Am.: BA. — de QW*LC* cf. Os.
Inscr. αμως β′ BA: cf. Os. inscr.
**1** 1 νακκαριμ Ra.] ν > BAQ: post εν; καριαθιαρ(ε)ιμ *LC* | εκ] εν B || 3 των εν γαλααδ BQW] των γαλααδιτων *L*: cf. 13; των γαλααδ A*C* || 5 αιχμαλωτισθησεται AQ || 8 κυριος] + κυριος *C*†: = 𝔐 || 9 ιδουμαιαν] ιουδαιαν B*A†: cf. 11 || 10 θεμελια A] pr. τα BQW*LC*: cf. 2 2 || 11 ιδουμαιας] ιουδαιας A*†: cf. 9 | τον] pr. εκαστος A† | μητραν] μητερα B*C*